22.	οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. (Lc 23:52)
23.	εἰσελθοῦσαι δὲ αἱ γυναῖκες οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ. (Lc 24:3)
24.	Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν. (Mt 13:1)
25.	Ἤκουσεν Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω καὶ εὑρὼν αὐτὸν εἶπεν· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου; (Jn 9:35)

26.	Καὶ ἐλθόντων πρὸς τὸν ὄχλον προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτὸν. (Mt 17:14)	γονυπετέω = me arrodillo
27.	καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων· Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν πάντες. (Lc 1:63)	πινακίδιον, τό = tablilla θαυμάζω = me maravillo
28.	Τοῦτο δὲ πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. (Jn 4:54)	δεύτερον = segundo/a Ἰουδαία, ἡ = Judea Γαλιλαία, ἡ = Galilea
29.	Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. (Ro 6:9)	κυριεύω = enseñoreo, domino
30.	ὁ δὲ ἀποκριθεὶς εἶπεν· γέγραπται· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. (Mt 4:4)	ἐκπορευόμαι = salgo
31.	ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· ναὶ κύριε. (Mt 9:28)	δύναμαι = puedo ποιῆσαι = hacer ναὶ κύριε = sí, Señor.

Practique leer una historia

Traduzca la siguiente historia. Lea las notas que aparecen al final de la página para obtener ayuda adicional.

ΙΗΣΟΥΣ ΕΓΕΙΡΕΙ ΚΟΡΑΣΙΟΝ[7] ΚΑΙ ΘΕΡΑΠΕΥΕΙ ΤΟΥΣ ΤΥΦΛΟΥΣ

Ἰδοὺ ἄρχων[1] εἷς ἐλθὼν προσεκύνει αὐτῷ λέγων ὅτι ἡ θυγάτηρ[2] μου ἄρτι[3] ἐτελεύτησεν[4]· ἀλλὰ ἐλθὼν ἐπίθες[5] τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται. καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν τὸν ὄχλον ἔλεγεν· ἀναχωρεῖτε[6], οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον[7] ἀλλὰ καθεύδει[8]. ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος εἰσελθὼν ἐκράτησεν τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον καὶ ἐξῆλθεν ἡ φήμη[9] αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

Καὶ παράγοντι[10] ἐκεῖθεν[11] τῷ Ἰησοῦ ἠκολούθησαν δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· ἐλέησον[12] ἡμᾶς, υἱὸς Δαυίδ[13]. ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πιστεύετε ὅτι δύναμαι[13] τοῦτο ποιῆσαι[15]; λέγουσιν αὐτῷ· ναὶ κύριε[16]. τότε ἥψατο[17] τῶν ὀφθαλμῶν αὐτῶν λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω[18] ὑμῖν. καὶ ἠνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί.

Notas

[1] ἄρχων, -οντος, ὁ = gobernante, príncipe
[2] θυγάτηρ, -τρός, ἡ = hija
[3] ἄρτι = ahora mismo
[4] τελευτάω = muero
[5] ἐπίθες = pon (imperativo)
[6] ἀναχωρεῖτε = regresen (imperativo)
[7] κοράσιον, τό = niña pequeña
[8] καθεύδω = estoy durmiendo
[9] φήμη, ἡ = noticia, fama

[10] παράγω = paso por
[11] ἐκεῖθεν = de allí
[12] ἐλέησον = ten misericordia de (imperativo)
[13] Δαυίδ = David
[14] δύναμαι = puedo
[15] ποιῆσαι = hacer
[16] ναὶ κύριε = sí, Señor
[17] ἅπτω = toco
[18] γενηθήτω = que así sea

Mi traducción

Unidad 25. Participios de perfecto

Análisis morfológico

Analice los siguientes participios. Hay formas de perfecto, de presente y de aoristo. Para los verbos deponentes, catalogue la voz como deponente.

	Tiempo	Voz	Modo	Género	Número	Caso	Lema
εἰδότες			Participio				
ἐληλυθότα							
γεγεννημένον							
εἰσελθόντες							
γεγραμμένα							
ζῶντος							
ἀπεσταλμένοι							
βεβλημένην							
ἐσταυρωμένον							
γεννηθείς							
γεγονός							
λαλῶν							
κεκλημένοι							
γεγραμμένον							
ἔχοντες							
ἠνεῳγμένον							
σεσῳσμένοι							
πεποιθώς							
ἀποκριθείς							
πεπληρωμένοι							

Practique escribir expresiones simples en griego

Traduzca al griego las siguientes oraciones en español. Asegúrese de que los participios concuerden en género, número y caso con el sustantivo o el pronombre que modifican. Use las palabras entre paréntesis.

1.	El libro (nom.) escrito por Juan	(γράφω)
2.	Las palabras (ac.) dichas por el profeta	(λαλέω)
3.	El esclavo (dat.) enviado por el Señor	(ἀποστέλλω)
4.	El hombre (gen.) nacido de Dios	(γεννάω)
5.	La obra (nom.) iniciada por Jesús	(γίνομαι)

Traduzca las siguientes oraciones usando construcciones perifrásticas de perfecto en griego (una forma del indicativo de εἰμί seguida de un participio de perfecto en el caso nominativo). Use las palabras entre paréntesis. Analice el ejemplo.

Ejemplo	Está escrito en los profetas.
	ἔστιν γεγραμμένον ἐν τοῖς προφήταις.

6.	Será desatado en el cielo.	(λύω)
7.	Las mujeres fueron sanadas.	(θεραπεύω)
8.	El hombre fue arrojado al mar.	(βάλλω)

9.	Ustedes son salvos. (σώζω)
10.	Fuimos enviados. (άποστέλλω)

Practique leer el Nuevo Testamento

Las siguientes oraciones están tomadas de los versículos que se indican. Hemos realizado algunas modificaciones. Intente traducir las oraciones sin mirar los pasajes. Luego, verifique su traducción consultando una versión literal como la Biblia de las Américas.

11.	Τῇ γὰρ χάριτί ἐστε σεσῳσμένοι διὰ πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, θεοῦ τὸ δῶρον. (Ef 2:8)	δῶρον, τὸ = don
12.	καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. (Col. 2:10)	
13.	καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. (Mt 9:2)	παραλυτικὸς = paralítico κλίνη, = camilla
14.	οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. (Jn 3:24)	οὔπω = todavía no φυλακή, ἡ =prisión, cárcel
15.	Ἐγένετο ἄνθρωπος, ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. (Jn 1:6)	

16.	ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἠνέῳξέν τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. (Jn 9:32)	ἐκ τοῦ αἰῶνος = nunca (modismo)
17.	ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσιν δὲ μωρίαν. (1Co 1:23)	Ἰουδαῖος, ὁ = judío σκάνδαλον, τό = piedra de tropiezo μωρία, ἡ = necedad
18.	καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός. (Ap 20:15)	λίμνη, ἡ = lago
19.	ἐγώ εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ. (Hch 22:3)	Ἰουδαῖος, ὁ = judío Ταρσός, ὁ = Tarso Κιλικία, ἡ = Cilicia ἀνατρέφω = crío, educo (a un niño)
20.	καὶ ἐπεδόθη αὐτῷ βιβλίον τοῦ προφήτου Ἡσαΐου καὶ ... εὗρεν τὸν τόπον οὗ ἦν γεγραμμένον·*πνεῦμα κυρίου ἐπ' ἐμὲ.* (Lc 4:17-18a)	ἐπεδόθη = fue dado Ἡσαΐας, ὁ = Isaías
21.	ἐὰν δὲ εἴπωμεν· ἐξ ἀνθρώπων, ὁ λαὸς ἅπας καταλιθάσει ἡμᾶς, πεπεισμένος γάρ ἐστιν Ἰωάννην προφήτην εἶναι. (Lc 20:6)	ἐὰν εἴπωμεν = si decimos ἅπας = πας καταλιθάζω = apedreo hasta la muerte εἶναι = ser (que es)

22.	οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον· ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. (Jn 6:31)	μάννα, τὸ = maná ἔδωκεν = dio φαγεῖν = comer
23.	ὁ δὲ λέγει αὐταῖς· μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε. (Mr 16:6)	μὴ ἐκθαμβεῖσθε = no se maravillen, no se asusten ὧδε = aquí
24.	Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστιν γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. (Jn 20:30)	
25.	ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ θεοῦ ἐστιν. (1Jn 4:2)	
26.	... αὐτὸς διώδευεν κατὰ πόλιν ... κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ καὶ οἱ δώδεκα σὺν αὐτῷ, καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν. (Lc 8:1-2)	διοδεύω = voy, atravieso, recorro κατὰ πόλιν = de ciudad en ciudad
27.	καὶ λέγει αὐτῷ· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. (Jn 1:51)	

Practique leer una historia

Traduzca la siguiente historia. Lea las notas que aparecen al final de la página para obtener ayuda adicional.

ΠΑΡΑΒΟΛΗ ΔΕΙΠΝΟΥ[1] ΜΕΓΑΛΟΥ

Εισῆλθεν ὁ Ἰησοῦς εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν[2] ἄρτον καὶ ἔλεγεν τῷ κεκληκότι αὐτόν τὴν παραβολὴν ταύτην.

Ὁ δὲ εἶπεν αὐτῷ· ἄνθρωπός τις ἐποίει δεῖπνον[1] μέγα, καὶ ἐκάλεσεν πολλοὺς καὶ ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν[3]τοῖς κεκλημένοις· ἔρχεσθε[4], ὅτι ἤδη ἕτοιμά[5] ἐστιν. καὶ ἤρξαντο ἀπὸ μιᾶς πάντες παραιτεῖσθαι[6]. ὁ πρῶτος εἶπεν αὐτῷ· ἀγρὸν[7] ἠγόρασα[8] καὶ ἔχω ἀνάγκην[9] ἐξελθὼν ἰδεῖν[10] αὐτόν. καὶ ἕτερος εἶπεν· γυναῖκα ἔγημα[11] καὶ διὰ τοῦτο οὐ δύναμαι[12] ἐλθεῖν[13].

Τότε ὀργισθεὶς[14] ὁ κύριος εἶπεν τῷ δούλῳ αὐτοῦ· ἔξελθε[15] εἰς τὰς πλατείας[16] καὶ τοὺς πτωχοὺς[17] καὶ τυφλοὺς εἰσάγαγε[18] ὧδε. καὶ εἶπεν ὁ δοῦλος· κύριε, ἔτι τόπος ἐστίν. καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· ἔξελθε[15] εἰς τὰς ὁδοὺς καὶ ἀνάγκασον[19] ἐλθεῖν[13]. λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων φάγεται μου τοῦ δείπνου[1].

Notas

[1] δεῖπνον, τό = banquete
[2] φαγεῖν = comer
[3] εἰπεῖν = decir
[4] ἔρχεσθε = vengan, venid (imperativo)
[5] ἕτοιμος, η, ον = preparado
[6] παραιτεῖσθαι = excusarse
[7] ἀγρός, ὁ = campo
[8] ἀγοράζω = comprar
[9] ἀνάγκη, ἡ = obligación
[10] ἰδεῖν = ver

[11] γαμέω = me caso (ἔγημα es aoristo)
[12] δύναμαι = puedo
[13] ἐλθεῖν = venir
[14] ὀργίζομαι = me enojo
[15] ἔξελθε = ve (imperativo de «ir»)
[16] πλατεῖα, ἡ = calle
[17] πτωχός, η, ον = pobre
[18] εἰσάγαγε = hazlo entrar, trae (imperativo)
[19] ἀνάγκασον = fuerza, obliga (imperativo)

Mi traducción

Unidad 26. Sintaxis y traducción de los participios

Practique leer los siguientes sintagmas de participio adjetival

Traduzca los siguientes participios adjetivales, usando una cláusula relativa adecuada en español. Escriba entre paréntesis el caso del sustantivo principal después de tu traducción. Siga el ejemplo.

Ejemplo	ὁ ἄνθρωπος ὁ ἰδὼν τὸν Ἰησοῦν
	El hombre que vio a Jesús (Nominativo)

1.	τὰς γυναῖκας τὰς ἀκούουσας τὴν φωνὴν
2.	τῶν μαθητῶν τῶν ὄντων ἐν τῷ οἴκῳ
3.	τοῖς δούλοις τοῖς βαπτισθεῖσι ὑπὸ Παύλου
4.	αἱ ἐκκλησιαὶ αἱ οὖσαι ἐν Χρίστῳ
5.	τὸν λογον τὸν λαληθέντα ὑπὸ τοῦ κυρίου
6.	τὰ σημεῖα τὰ ἀνεῳγμένα
7.	τῷ λίθῳ τῷ ἐκβληθέντι
8.	τοὺς ἀποστόλους οἱ ἀποστελλομένους
9.	τῆς παραβολῆς τῆς ἀκουσθείσης

10.	ὁ βασιλεῦς ὁ ἄρξας τὸν λαόν
11.	τῶν γραμματεῶν τῶν μενόντων ἐν τῷ ἱερῳ
12.	ὁ υἱος ὁ ἐγηγερμένος ἐκ τῶν νεκρῶν

Practique leer sintagmas de participio sustantivado

Traduzca los siguientes participios sustantivados, usando el sustantivo, el pronombre o la forma verbal adecuados y una cláusula relativa en español. Escriba entre paréntesis el caso del sustantivo principal después de tu traducción. Siga el ejemplo.

Ejemplo	ὁ ἰδὼν τὸν Ἰησοῦν
	El que vio a Jesús (Nominativo)

13.	οἱ εἰσερχόμενοι εἰς τὸν ἱερον
14.	τὰ λελαλημένα ὑπο τῶν προφήτων
15.	αἱ μαρτυροῦσαι περὶ αὐτοῦ
16.	τὸν ἐκβάλλοντα δαιμόνια
17.	ὁ ἔχων τὸν βιβλίον
18.	οἱ πεμφθέντες εἰς τὴν ἐκκλησίαν

19.	πάντες οἱ ὄντες ἅγιοι
20.	τὰ πεπληρωμένα ἐν ἡμῖν
21.	τοῖς σῳζομένοις
22.	τῶν ἀκουσάντων τὴν παραβολήν
23.	τὸν ἀποστείλαντά με
24.	τούτων τῶν πιστευόντων εἰς ἐμέ

Practique leer oraciones con genitivo absoluto

Traduzca las siguientes oraciones con genitivo absoluto, usando el sustantivo en genitivo como sujeto y el participio en genitivo como el verbo principal en una cláusula temporal en español. Siga el ejemplo.

Ejemplo	Καταβάντος δὲ αὐτοῦ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄχλοι.
	Y cuando descendieron del monte la multitud lo siguió.

25.	καθίσαντος αὐτοῦ προσῆλθαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.
26.	καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ δοῦλος.
27.	συνηγμένων δὲ τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς.

28.	καὶ ἐξελθόντων τῶν μαθητῶν ἐκ τοῦ πλοίου εὐθὺς ὁ ὄχλος εἶπεν.
29.	Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ οἰκίᾳ ἔρχεται γυνὴ αὐτῷ.
30.	γενομένης δὲ ἡμέρας ὁ Ἰησοῦς ἐπορεύθη εἰς ἔρημον τόπον.
31.	Ἀκουόντων δὲ αὐτῶν ταῦτα εἶπεν ἄλλην παραβολὴν.
32.	εἰσελθούσης τῆς γυναικὸς εἰς τῷ οἴκῳ ὁ δοῦλος ἐξῆλθεν.

Practique leer el Nuevo Testamento

Las siguientes oraciones están tomadas de los versículos que se indican. Hemos realizado algunas modificaciones. Intente traducir las oraciones sin mirar los pasajes. Luego, verifique su traducción consultando una versión literal como la Biblia de las Américas.

33.	μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. (Mt 5:10)	ἕνεκεν = a causa de (prep. con gen.)
34.	καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους πεντακισχίλιοι ἄνδρες. (Mr 6:44)	πεντακισχίλιοι = cinco mil
35.	Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς λέγων· ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν. (Mt 13:3)	τοῦ σπείρειν = a sembrar

36.	ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου, (Mt 13:37)	
37.	ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν· σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. (Mt 16:16)	Σίμων, ὁ = Simón
38.	οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον. (Mt 15:11)	κοινόω = profano, contamino
39.	Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. (Hch 10:44)	ἐπιπίπτω = caigo
40.	Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ· (Jn 1:40)	Ἀνδρέας, ὁ = Andrés
41.	ὁ ζητῶν τὸν κύριον εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης, οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην. (Pr. 16:8 LXX)	γνῶσις, ἡ = conocimiento, ciencia ὀρθῶ = rectamente, correctamente

Practique leer una historia

Traduzca la siguiente historia. Lea las notas que aparecen al final de la página para obtener ayuda adicional.

ΤΟΝ ΑΡΤΟΝ ΕΚ ΤΟΥ ΟΥΡΑΝΟΥ

Εἶπεν οὖν ὁ λάος αὐτῷ· τί οὖν ποιήσεις σὺ σημεῖον, οὐ γὰρ πιστεύομεν σοι; οἱ πατέρες ἡμῶν τὸ μάννα[1] ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον· *ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν[2] αὐτοῖς φαγεῖν[3].*

Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωϋσῆς[4] δέδωκεν[5] ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου δίδωσιν[6] ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν[7]· ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν φέρων τῷ κόσμῳ.

Εἶπον οὖν πρὸς αὐτόν· ποῦ ἐστιν τὸν ἄρτον τοῦτον;

Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· Ἀλλ' εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ με καὶ οὐ πιστεύετε. πᾶν ὃ καλεῖ μοι ὁ πατὴρ πρὸς ἐμὲ ἔρχεται, καὶ τὸν ἐρχόμενον πρὸς ἐμὲ οὐ μὴ[8] ἐκβάλω ἔξω, ὅτι καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ τοῦ ποιεῖν[9] τὸ θέλημα τοῦ πέμψαντός με. τοῦτο γάρ ἐστιν τὸ θέλημα τοῦ πατρός μου, ἵνα[10] πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ[11] ζωὴν αἰώνιον, καὶ ἐγερῶ αὐτὸν ἐγὼ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Notas

[1] μάννα, τὸ = Maná
[2] ἔδωκεν = dio
[3] φαγεῖν = comer
[4] Μωϋσῆς, ὁ = Moisés
[5] δέδωκεν = ha dado (3ra per. sg.)
[6] δίδωσιν = da (3ra per. sg.)

[7] ἀληθινός, ή, όν = verdadero/a
[8] οὐ μὴ = nunca
[9] τοῦ ποιεῖν = hacer
[10] ἵνα = que, a saber que, es decir
[11] ἔχῃ = que pueda tener (3ra per. sg.)

Mi traducción

Unidad 27. El infinitivo

Análisis morfológico

Analice y traduzca los siguientes verbos. Para los verbos deponentes, catalogue la voz como deponente.

	Tiempo	Voz	Modo	Lema	Traducción
σῶσαι			Infinitivo		
γενέσθαι					
σωθῆναι					
γεγονέναι					
εἶναι					
εἰπεῖν					
φανερωθῆναι					
ἰδεῖν					
ἀγαπᾶν					
ἐλθεῖν					
αἰτεῖσθαι					
κηρύσσειν					
ποιῆσαι					
γενηθῆναι					
πληροῦν					
δύνασθαι					
γράψαι					
λέγειν					
φαγεῖν					
σταυρωθῆναι					

Practique escribir en griego

Traduzca al griego los siguientes infinitivos en español. Use el verbo y el tiempo verbal entre paréntesis.

1.	estar abriendo el libro	(ἀνοίγω, Pres.)
2.	libertar al esclavo	(ἀπολύω, Aor.)
3.	haber visto al Señor	(ὀράω, Perf.)
4.	Estar siendo juzgado por Dios	(κρίνω, Pres.)
5.	hacer buenas obras	(ποιέω, Aor.)
6.	estar en la casa	(εἰμί, Pres.)
7.	estar diciéndole	(λέγω, Pres.)
8.	haber sido salvados de la muerte	(σώζω, Perf.)
9.	comer el pan	(ἔσθίω, Aor.)
10.	entrar en la casa	(εἰσέρχομαι, Aor.)

Practique leer infinitivos como cláusulas con complemento verbal

Traduzca las siguientes oraciones al español de la manera adecuada. Si la oración de infinitivo en griego incluye un sujeto en acusativo, tradúzcalo usando una cláusula en español o transforme el verbo principal con un verbo auxiliar en español. Siga los ejemplos.

Ejemplo	**δεῖ ποιεῖν** τὸ θέλημα τοῦ θεοῦ.
	Es necesario hacer la voluntad de Dios.
Ejemplo	**δεῖ με ποιεῖν** τὸ θέλημα τοῦ θεοῦ.
	Tengo que hacer la voluntad de Dios

11.	ὀφείλετε εἶναι διδάσκαλοι.
12.	οὐκ ἔξεστιν τοῖς σάββασιν θεραπεῦσαι.
13.	οἱ δοῦλοι ἠδύναντο κηρύξαι τὸν λόγον τοῦ θεοῦ.
14.	δεῖ με ἐλθεῖν πρὸς τὸν ἱερόν.
15.	δύνανται οἱ βασιλεῖς ἐπὶ τῶν θρόνων καθῆσθαι.
16.	μέλλετε τὸν καρπὸν φαγεῖν.
17.	δεῖ ἡμᾶς σωθῆναι τῇ πίστει.
18.	πᾶς ὁ πιστεύων εἰς τὸν θεὸν δύναται περιπατεῖν ἐν ἀληθείᾳ.

19.	οὐκ ἔξεστίν σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.
20.	δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον.

Practique leer infinitivos usados en sintagmas preposicionales

Traduzca las siguientes oraciones al español de la forma correcta. Los sintagmas preposicionales con complementos en infinitivo deben traducirse como cláusulas adverbiales. Observe los demás verbos en la oración para identificar el marco temporal adecuado. Siga el ejemplo.

Ejemplo	**ἐν τῷ σπείρειν αὐτὸν**, τι σπέρμα ἔπεσεν παρὰ τὴν ὁδόν
	Mientras estaba sembrando, parte de la semilla cayó junto al camino.

21.	πρὸ τοῦ σε Παῦλον φωνῆσαι εἶδόν σε.
22.	ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ ἐκείνῳ ὁ ὄχλος προσῆλθεν πρὸς αὐτόν.
23.	μετὰ τὸ ἐγερθῆναί με πέμψω τὸ ἅγιον πνεῦμα.
24.	ἐδιώχθημεν διὰ τὸ διδάσκειν ἡμᾶς τὸν λαὸν.
25.	ἐν τῷ προσεύχεσθαι αὐτὸν, ὤφθη ἄγγελος αὐτῷ.

26.	ὁ θεὸς σώσει ἡμᾶς διὰ τὸ εἶναι ἁγίους.
27.	ἐγὼ προσευξομαι εἰς τὸν θεὸν πρὸ τοῦ με φαγεῖν τὸν ἄρτον μοῦ.
28.	οἱ μαθηταὶ διδάσκουσιν ὑμᾶς εἰς τὸ ζῆν ὑμᾶς.
29.	κηρυχθήσεται τὸ εὐαγγέλιον εἰς τὸν κόσμον πρὶν ἐλθεῖν ἡμέραν κυρίου.
30.	οἱ πατέρες ὑμῶν ἐτήρησον τὸν νόμον πρὸς τὸ μένειν αὐτοὺς ἐν τὴν γῆν.

Practique leer cláusulas de infinitivo de propósito, de resultado, de complemento, de discurso indirecto y adjetivales

Traduzca las siguientes oraciones al español de la manera correcta. Después de la traducción, indique la función de la cláusula de infinitivo. Siga el ejemplo.

Ejemplo	ὁ Ἰησοῦς ἦλθεν τοῦ σῶσαι τοὺς ἁμαρτωλούς.
	Jesús vino para salvar a los pecadores. (Propósito)

31.	ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν.

32.	θέλω ἰδεῖν τὸν δοῦλον.
33.	ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.
34.	ἦλθον δὲ καὶ οἱ γραμματεῖς βαπτισθῆναι.
35.	Ἐγένετο δὲ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν.
36.	ἔχω σοί τι εἰπεῖν.
37.	ἐξῆλθον δὲ αἱ γυναῖκες ἰδεῖν τὸν κύριον.
38.	ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ θεοῦ.
39.	ᾐτήσατο θεραπευθῆναι.
40.	ἐθεράπευσεν αὐτούς ὥστε τὸν ὄχλον θαυμάσαι.

Practique leer el Nuevo Testamento

Las siguientes oraciones están tomadas de los versículos que se indican. Hemos realizado algunas modificaciones. Intente traducir las oraciones sin mirar los pasajes. Luego, verifique su traducción consultando una versión literal como la Biblia de las Américas.

41.	ἀπεκρίθη ὁ ὄχλος· δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι; (Jn 7:20)	
42.	λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. (Lc 3:8)	
43.	εἶπεν δὲ αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Πέτρος δὲ ἀποκριθεὶς εἶπεν· τὸν χριστὸν τοῦ θεοῦ. (Lc 9:20)	
44.	πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. (Jn 4:24)	
45.	λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδαν, καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν. (Lc 10:24)	
46.	ἡμᾶς δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. (Jn 9:4)	
47.	ὁ δὲ Ἰησοῦς εἶπεν· ἄφετε τὰ παιδία ... ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. (Mt 19:14)	ἄφετε = permitan, dejen (imperativo)

48.	Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. (Mt 4:17)	μετανοεῖτε = arrepiéntanse (imperativo)
49.	Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; (Mt 16:13)	μέρος, ους, τό = región Καισάρεια, ας, ὁ = Cesarea Φίλιππος, ου, ὁ = Filipo

Practique leer una historia

Traduzca la siguiente historia. Lea las notas que aparecen al final de la página para obtener ayuda adicional.

Η ῾ΟΜΟΛΟΓΙΑ[19] ΠΕΤΡΟΥ

Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη[1] Καισαρείας[2] τῆς Φιλίππου[3] ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; οἱ δὲ εἶπαν· οἱ μὲν[4] Ἰωάννην τὸν βαπτιστήν[5], ἄλλοι δὲ Ἠλίαν[6], ἕτεροι δὲ Ἰερεμίαν[7] ἢ ἕνα τῶν προφητῶν. λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ Σίμων[8] Πέτρος εἶπεν· σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· μακάριος εἶ, Σίμων[8], ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν[9] σοι ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.

Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν[10] τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν εἰς Ἰεροσόλυμα[11] ἀπελθεῖν καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. καὶ προσλαβόμενος[12] αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν[13] αὐτῷ λέγων· ἵλεώς σοι[14], κύριε· οὐ μὴ ἔσται σοι τοῦτο. ὁ δὲ Ἰησοῦς εἶπεν τῷ Πέτρῳ· ὕπαγε[15] σατανᾶ[16]· σκάνδαλον[17] εἶ ἐμοῦ, ὅτι οὐ φρονεῖς[18] τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων.

Notas

[1] μέρος, ους, τό = región
[2] Καισάρεια, ας, ὁ = Cesarea
[3] Φίλιππος, ου, ὁ = Filipo
[4] οἱ μὲν = algunos
[5] βαπτιστής, ὁ = baptizador, bautista
[6] Ἠλίας, ὁ = Elías
[7] Ἰερεμίας, ὁ = Jeremías
[8] Σίμων, ὁ = Simón
[9] ἀποκαλύπτω = revelo, descubro
[10] δεικνύω = muestro

[11] Ἰεροσόλυμα = Jerusalén
[12] προσλαμβάνω = tomo o llevo aparte
[13] ἐπιτιμάω = reprendo
[14] Ἵλεώς σοι = *Dios tenga* misericordia de ti
[15] ὕπαγε = vete, aléjate (imperativo)
[16] σατανᾶ = Satánas
[17] σκάνδαλον, τό = (piedra de) tropiezo
[18] φρονέω = tengo en mente, pienso
[19] ὁμολογία = confesión

Mi traducción

Unidad 28. El modo subjuntivo

Análisis morfológico

Analice las siguientes formas verbales. Incluya todas las opciones posibles. No todas las formas están en modo subjuntivo.

	Tiempo	Voz	Modo	Persona	Número	Lema
λέγωσιν						
πιστεύητε						
εἰδῶμεν						
ἐβαπτίσθη						
πέσῃ						
ὦσιν						
πληρωθῇ						
γράφηται						
ἐκλήθητε						
πιστεύσῃς						
ποιήσωμεν						
πληρωθῶσιν						
σωθῶσιν						
ποιήσω						
δέξωνται						
ἔλθῃ						
διέρχωμαι						
γένηται						
ᾖ						
λαλῶσιν						

Practique leer subjuntivos griegos en cláusulas dependientes

Traduzca al español las siguientes cláusulas griegas.

1.	ἵνα πληρωθῇ ὁ λόγος
2.	ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου
3.	ἐὰν ὑμῖν εἴπω
4.	ὅστις ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου
5.	ἵνα ἔχωσιν τὴν χαρὰν μοῦ
6.	Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου
7.	ὅταν προσεύχησθε
8.	ἵνα μὴ κριθῆτε
9.	ἐὰν προσκυνήσῃς μοι
10.	ὃς ἂν ἐσθίῃ τὸν ἄρτον

Practique leer subjuntivos griegos en cláusulas independientes

Traduzca al español las siguientes oraciones en griego. Después de la traducción, indique entre paréntesis la función del subjuntivo.

Ejemplo	ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν.
	Vamos a Judea otra vez. (Exhortativo)

11.	τί φάγωμεν;
12.	Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους.
13.	οὐ μὴ πιστεύσητε.
14.	ἀποκτείνωμεν αὐτὸν.
15.	εἰς πόλιν μὴ εἰσέλθητε.
16.	τί ποιήσωμεν τοῖς ἀνθρώποις τούτοις;
17.	μὴ πιστεύσητε αὐτοὺς.
18.	Τί οὖν; ἁμαρτήσωμεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον;
19.	οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
20.	μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ ἀλλὰ ἐν ἔργῳ καὶ ἀληθείᾳ.

Practique leer el Nuevo Testamento

Las siguientes oraciones están tomadas de los versículos que se indican. Hemos realizado algunas modificaciones. Intente traducir las oraciones sin mirar los pasajes. Luego, verifique su traducción consultando una versión literal como la Biblia de las Américas.

21.	Ἀμὴν λέγω ὑμῖν· ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν οὐρανῷ, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν οὐρανῷ. (Mt 18:18)
22.	ὅτι καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. (Jn 6:38)
23.	ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. (Jn 8:51)
24.	ὁ δὲ Ἰησοῦς ἀποκρίνεται αὐτοῖς λέγων· ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. (Jn 12:23)
25.	ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. (Col 3:4)

26.	Πάλιν οὖν αὐτοῖς ἐλάλησεν ὁ Ἰησοῦς λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. (Jn 8:12)	
27.	ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· (Ro 10:9)	ὁμολογέω = confieso
28.	τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς ἢ ἐν ἀγάπῃ πνεύματί τε πραΰτητος; (1Co 4:21)	ῥάβδος ἡ = vara πραΰτης, ητος, ἡ = mansedumbre
29.	προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεος καὶ χάριν εὕρωμεν .... (Heb 4:16)	παρρησία, ας, ἡ = audacia osadía, confianza ἔλεος, ους, τό = misericordia

Practique leer una historia

Traduzca la siguiente historia. Lea las notas que aparecen al final de la página para obtener ayuda adicional.

Ο ΘΑΝΑΤΟΣ ΛΑΖΑΡΟΥ

Ἦν δέ τις Λάζαρος[1] ἀδελφὸς τῆς Μαρίας[2] καὶ Μάρθας[3] ὃς ἠσθένει[4]. ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ[5] πρὸς Ἰησοῦν λέγουσαι· κύριε, ἴδου ὃν φιλεῖς[6] ἀσθενεῖ[4].

Ὁ δὲ Ἰησοῦς εἶπεν· αὕτη ἡ ἀσθένεια[7] ἔστιν ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς. ἄγωμεν εἰς τὴν Ἰουδαίαν[8] πάλιν. λέγουσιν αὐτῷ οἱ μαθηταί· ῥαββί[9], νῦν ἐζήτουν σε λιθάσαι[10] οἱ Ἰουδαῖοι. ἀπεκρίθη Ἰησοῦς· οὐχὶ δώδεκα ὧραί εἰσιν τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει[11], ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει. τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Λάζαρος ἀπέθανεν, ἀλλὰ ἄγωμεν πρὸς αὐτόν. εἶπεν οὖν Θωμᾶς[12] τοῖς μαθηταῖς· ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ.

Ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας[13] ἤδη ἡμέρας ἔχοντα ἐν τῷ μνημείῳ. ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι Ἰησοῦς ἔρχεται ἐξῆλθεν αὐτῷ καὶ εἶπεν πρὸς τὸν Ἰησοῦν· κύριε, εἰ ἦς ὧδε οὐκ ἂν[14] ἀπέθανεν ὁ ἀδελφός μου· ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεὸν δώσει[15] σοι ὁ θεός. εἶπεν αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ κἂν[16] ἀποθάνῃ ζήσεται, καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο; λέγει αὐτῷ· ναὶ κύριε, ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος.

Notas

[1] Λάζαρος = Lázaro	[6] φιλέω = amo, quiero	[11] προσκόπτω = tropiezo
[2] Μαρία = María	[7] ἀσθένεια, ἡ = enfermedad	[12] Θωμᾶς, ὁ = Tomás
[3] Μάρθα = Marta	[8] Ἰουδαία, ἡ = Judea	[13] τέσσαρες = cuatro
[4] ἀσθενέω = estoy enfermo	[9] ῥαββί = Rabí	

[5] ἀδελφή, ἡ = hermana
[15] δώσει = dará (διδώμι)

[10] λιθάζω = mato mediante lapidación
[16] κἂν = aunque, aun cuando, (και + ἐαν)

[14] ἄν se usa aquí en una oración condicional del segundo tipo y se traduce con el pluscuamperfecto

Mi traducción

Unidad 29. El modo imperativo

Análisis morfológico

Analice las siguientes formas verbales. Incluya todas las opciones posibles. No todas las formas están en modo imperativo.

	Tiempo	Voz	Modo	Persona	Número	Lema
κρίνατε						
πέμψον						
ὕπαγε						
πορεύθητι						
ἀσπάσασθε						
ὑπάγετε						
βαπτισθήτω						
ἔρχου						
πιστεύετε						
αἰτείτω						
λαλείτωσαν						
γινέσθω						
προσεύχεσθε						
ποιεῖτε						
εἰπέ						
ἀκουσάτω						
βλήθητι						
κάθου						
σῶσον						

Practique escribir en griego

Traduzca al griego las siguientes oraciones en español. Use el presente cuando lo que se ordena supone un proceso y el aoristo para las órdenes holísticas.

1.	Salúdense los unos a los otros.
2.	Tira la piedra.
3.	Que vengan los esclavos.
4.	No amen el mundo.
5.	Levanta la mano.
6.	Que el discípulo llegue a ser maestro.
7.	Anda en la verdad.
8.	Busquen el reino de Dios.
9.	Que los profetas oigan la palabra de Dios.
10.	Sígueme.

Practique leer el Nuevo Testamento

Las siguientes oraciones están tomadas de los versículos que se indican. Hemos realizado algunas modificaciones. Intente traducir las oraciones sin mirar los pasajes. Luego, verifique su traducción consultando una versión literal como la Biblia de las Américas.

11.	μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. (1Co 7:23)	
12.	Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητὰ. (Ef 5:1)	μιμητής, ὁ = imitador
13.	ὡς τέκνα φωτὸς περιπατεῖτε. (Ef 5:8)	
14.	εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· (Jn 10:37)	
15.	Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοί. (Fil 4:21)	
16.	ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. (Mt 6:10)	
17.	παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν Ἰσραήλ. (Mt 2:20)	Ἰσραήλ = Israel

18.	Πάντα οὖν ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. (Mt 7:12)	
19.	τὸ βάπτισμα τὸ Ἰωάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων; ἀποκρίθητέ μοι. (Mr 11:30)	βάπτισμα, τὸ = bautismo
20.	ὁ χριστὸς ὁ βασιλεὺς Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. (Mr 15:32)	Ἰσραήλ = Israel
21.	Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ... εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι. (Lc 11:1)	
22.	ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. (Jn 2:19)	
23.	λέγει αὐτῷ ὁ Ἰησοῦς· πορεύου, ὁ υἱός σου ζῇ. ἐπίστευσεν ὁ ἄνθρωπος τ�ῳ λόγῳ ὃν εἶπεν αὐτῷ ὁ Ἰησοῦς καὶ ἐπορεύετο. (Jn 4:50)	

24.	γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ κύριον αὐτὸν καὶ χριστὸν ἐποίησεν ὁ θεός. (Hch 2:36)	Ἰσραήλ = Israel
25.	Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν τὴν ἐκκλησίαν. (Ef 5:25)	
26.	Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. (Ap 2:29)	οὖς, ὠτός, τό = oído
27.	Σὺ δέ, ὦ ἄνθρωπε θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην. (1Ti 6:11)	ὦ ἄνθρωπε = Oh hombre φεύγω = huyo
28.	καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν. (Ef 5:2)	παρέδωκεν = dio

Practique leer una historia

Traduzca la siguiente historia. Lea las notas que aparecen al final de la página para obtener ayuda adicional.

ΠΡΟΣ ΛΑΟΔΙΚΕΙΣ[1]

Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ τοῖς ἁγίοις τοῖς ἐν Λαοδικείᾳ[2],
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν.

Μακάριοι οἱ περιπατοῦντες ἐν τῷ φωτὶ τῆς ἀγάπης τοῦ κυρίου. ἀκούω ὑμῶν τὴν ἀγάπην καὶ τὴν πίστιν και χαίρω. ἀλλὰ δεῖ με παρακαλεῖν ὑμᾶς, ἀδελφοὺς πάντοτε.

Παρακαλῶ οὖν ὑμᾶς, τὰς ἐντολάς φυλάσσεσθε καὶ πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. ἐπιγινώσκετε τὴν ὁδὸν μου ἐν Χριστῷ Ἰησοῦ οὕτως καὶ ὑμεῖς ποιήσατε. Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν κύριον, ἐν αὐτῷ περιπατεῖτε.

Γίνεσθε οὖν μιμηταὶ[3] τοῦ θεοῦ ὡς τέκνα ἀγαπητὰ καὶ περιπατεῖτε ἐν ἀγάπῃ. Διώκετε τὴν ἀγάπην καὶ λαλεῖτε ἀλήθειαν ἀλλήλοις ἐν ἀγάπῃ. μηδενὶ μηδὲν ὀφείλετε εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν, ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται καὶ γινώσκει τὸν θεόν. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας καὶ ἡ γυνὴ ἀγαπάτω τὸν ἄνδρα αὐτῆς.

Μηκέτι[4] οὖν ἀλλήλους κρίνωμεν, μὴ κρινέτω ὁ δοῦλος τὸν κατὰ σάρκα κύριον αὐτοῦ μηδὲ ὁ κύριος τὸν δοῦλον, ἀμφότεροι[5] γὰρ ἀδελφοὶ εἰσὶν ἐν τῷ κυρίῳ. ὥστε μὴ τι κρίνετε ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς φανερώσει πάντα.

Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι[6] ἁγίῳ. ἀμήν.

Notas

[1] Λαοδικεύς, έως, ὁ = Laodiceo	[3] μιμητής, ὁ = imitador		[5] ἀμφότεροι = ambos
[2] Λαοδίκεια, ας, ἡ = Laodicea	[4] μηκέτι = ya no (οὐκέτι)		[6] φίλημα, τό = beso

Mi traducción

Unidad 30. Verbos en μι

Análisis morfológico

Analice las siguientes formas verbales. Incluya todas las opciones posibles. Llene los espacios solo en las columnas adecuadas.

	Tiempo	Voz	Modo	Persona	Caso	Número	Género	Lema
δέδωκα			Indicativo					
δώσει								
ἔστη								
παρέδωκεν								
ἀφεθήσεται								
στήσονται								
ἔδειξεν								
παραδώσω								
δοθήσεται								
ἀφῆκεν								
ἔφη								
δίδωσιν								
ἔθηκας								
ἀπολλύμεθα								
θήσω								
δείξω								
ἀνέστη								
ἔδωκεν								

Practique leer el Nuevo Testamento

Las siguientes oraciones están tomadas de los versículos que se indican. Hemos realizado algunas modificaciones. Intente traducir las oraciones sin mirar los pasajes. Luego, verifique su traducción consultando una versión literal como la Biblia de las Américas.

1.	οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ υἱῷ. (Jn 5:22)
2.	ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου καὶ ὁ κόσμος ἐμίσησεν αὐτού. (Jn 17:14)
3.	ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. (Jn 1:17)
4.	καθὼς γέγραπται ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. (Ro 4:17)
5.	Ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τοῖς υἱοῖς τῶν ἀνθρώπων. (Mr 3:28)
6.	Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδετο ἔλαβεν ἄρτον. (1Co 11:23)
7.	ὁ δὲ θεὸς δίδωσιν αὐτῷ σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα. (1Co 15:38)

8.	ἐξῆλθον παρὰ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα. (Jn 16:28)	
9.	τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. (Jn 20:19)	
10.	εἶπεν δέ τις αὐτῷ· ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν ζητοῦντές σοι λαλῆσαι. (Mt 12:47)	
11.	Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων. (Mt 10:1)	προσκαλέω = llamo ἀκάθαρτος = inmundo
12.	καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ· τέκνον, ἀφίενταί σου αἱ ἁμαρτίαι. (Mr 2:5)	παραλυτικός = cojo, paralítico
13.	οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. (Lc 1:32)	ὑψίστος = altísimo
14.	δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν. (Ro 5:2)	προσαγωγή, ἡ = entrada

15.	Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ. (Mt 4:5)	διάβολος, ὁ = el diablo πτερύγιον, τὸ = pináculo
16.	Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ ἣν ἔδωκεν αὐτῷ ὁ θεὸς δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, ... (Ap 1:1)	ἀποκάλυψις, ἡ = revelación ἐν τάχει = pronto
17.	Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. (Mt 6:14)	ἀφῆτε = Aor. subj. de ἀφίημι παράπτωμα, τό = transgresión
18.	εἶπαν· οὗτος ἔφη· δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι. (Mt 26:61)	καταλύω = destruyo οἰκοδομέω = edifico
19.	ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς θεῖναι. (1Jn 3:16)	θεῖναι = Aor. act. inf. de τίθημι
20.	ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· πολλὰ ἔργα καλὰ ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός· διὰ ποῖον αὐτῶν ἔργον ἐμὲ λιθάζετε; (Jn 10:32)	ποῖον = ¿cuál? λιθάζω = mato por lapidación, apedreo

21.	ἐδίδασκεν γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς μετὰ τρεῖς ἡμέρας ἀναστήσεται. (Mr 9:31)	
22.	ἀποκρίνεται Ἰησοῦς· τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσῃ ἕως οὗ ἀρνήσῃ με τρίς. (Jn 13:38)	ἀλέκτωρ, ορος, ὁ = gallo ἀρνέομαι = niego
23.	Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. (Mt 10:21)	ἐπανίστημι = me levanto, me rebelo γονεύς, έως, ὁ = padre o madre θανατόω = hago morir, entrego a muerte
24.	Καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ εἰσῆλθεν ἐν αὐτοῖς, καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας ἐπέπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς. (Ap 11:11)	ἥμισυς = medio ἐπιπίπτω = caigo sobre
25.	Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν. (Mt 4:8)	διάβολος, ὁ = el diablo ὑψηλός, ή, όν = alto λίαν = muy, sumamente

Practique leer una historia

Traduzca la siguiente historia. Lea las notas que aparecen al final de la página para obtener ayuda adicional.

ΓΥΝΗ ΕΒΡΕΞΕΝ[3] ΤΟΥΣ ΠΟΔΑΣ ΙΗΣΟΥ

Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατεκλίθη[1]. καὶ ἰδοὺ γυνὴ ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλός, ἔστη παρὰ τοὺς πόδας αὐτοῦ καὶ κλαίουσα τοῖς δάκρυσιν[2] ἤρξατο βρέχειν[3] τοὺς πόδας αὐτοῦ καὶ κατεφίλει[4] τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν[5] τῷ μύρῳ[6]. ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν[7] ὅτι ἡ γυνὴ ἁμαρτωλός ἐστιν.

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς φησίν. δύο χρεοφειλέται[8] ἦσαν δανιστῇ[9] τινι· ὁ εἷς ὤφειλεν δηνάρια[10] πεντακόσια[11], ὁ δὲ ἕτερος πεντήκοντα[12]. ἀμφοτέρους[13] δὲ ὁ δανιστὴς ἐχαρίσατο.[14] τίς οὖν αὐτῶν πλεῖον ἀγαπήσει αὐτόν; ἀποκριθεὶς Σίμων εἶπεν· ὁ εἷς ᾧ τὸ πλεῖον ἐχαρίσατο.

Ὁ δὲ τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ μοι ἐπὶ πόδας οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν[3] μου τοὺς πόδας, φίλημά[15] μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον πάντοτε κατεφίλει μου τοὺς πόδας. λέγω οὖν σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. εἶπεν δὲ αὐτῇ· ἀφέωνταί σου αἱ ἁμαρτίαι. ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην.

Notas

[1] κατακλίνω = me reclino a la mesa
[2] δάκρυον, τό = lágrima
[3] βρέχω = mojo, riego, llover
[4] καταφιλέω = beso (verbo)
[5] ἀλείφω = unjo
[6] μύρον, το = ungüento
[7] ἐγίνωσκεν ἄν = conocería, sabría
[8] χρεοφειλέτης, ὁ = deudor
[9] δανιστής, ὁ = acreedor
[10] δηνάριον, τό = denario (salario diario)
[11] πεντακόσιοι = quinientos
[12] πεντήκοντα = cincuenta
[13] ἀμφότεροι = ambos
[14] χαρίζομαι = muestro gracia, perdono
[15] φίλημα, τό = beso

Mi traducción

Este libro de ejercicios está diseñado para ser usado con la **Gramática inicial e intermedia del griego del Nuevo Testamento**. Los ejercicios incluidos proporcionan práctica en análisis morfológico, escritura en griego, traducción de oraciones simples, traducción de oraciones del Nuevo Testamento, y traducción de historias más completas y extensas.

Características

- **Análisis morfológico:** Los ejercicios incluyen aproximadamente 20 palabras para analizar. La mayoría de estas palabras se encuentran en el Nuevo Testamento. Los ejercicios incluyen un análisis exhaustivo de formas gramaticales más antiguas.
- **Práctica de escritura en griego:** Los ejercicios incluyen 10 o más oraciones o frases en español que debe traducir al griego. Estos ejercicios le ayudarán a alcanzar un mayor entendimiento de por qué y cómo se usan ciertas construcciones fortaleciendo así su aprendizaje.
- **Práctica de lectura en griego:** Los ejercicios incluyen 10 o más oraciones preparadas para principiantes. Estas oraciones comienzan desde lo más sencillo y avanzan hacia lo más complejo reforzando el contenido de la unidad que está siendo estudiada.
- **Práctica de lectura del Nuevo Testamento:** Los ejercicios incluyen 10 o más oraciones presentes en el Nuevo Testamento. Traducir pasajes del Nuevo Testamento motivará su estudio. Las oraciones han sido cuidadosamente elegidas en concordancia con el vocabulario y la gramática de la unidad que está siendo estudiada. También se proporciona vocabulario adicional y explicación de formas.
- **Práctica de lectura de una historia:** Los ejercicios incluyen breves historias en griego de varios párrafos de longitud. Están diseñados para darle la experiencia de traducir dentro de un contexto donde puede tomar decisiones sintácticas. Las historias incluidas en las unidades iniciales, si bien no son del Nuevo Testamento, reflejan las formas reales y la sintaxis que encontramos en el Nuevo Testamento. Las historias en las unidades avanzadas están tomadas del Nuevo Testamento pero están modificadas para reemplazar formas, sintaxis y vocabulario desconocidos y para abreviar las historias más largas.

Herramientas adicionales disponibles

- *Gramática inicial e intermedia del griego del Nuevo Testamento:* Esta gramática combina una presentación sistemática de la morfología griega con explicaciones significativas acerca de su uso. Como resultado, los estudiantes obtienen un entendimiento más completo del idioma y adquieren una mayor aptitud para traducir.
- *Herramientas informáticas para la Gramática inicial e intermedia del griego del Nuevo Testamento* (en inglés; próximamente en español): Incluye más de 140 ejercicios informáticos para el sistema de aprendizaje de idiomas Anki, clases en video y lecciones inductivas del Nuevo Testamento en video.
- *Herramientas para el docente* (en inglés; próximamente en español): Lecciones en PowerPoint para cada unidad, banco de ejercicios para cuestionarios y exámenes, modelo de plan de estudio, guía de respuestas para el libro de ejercicios.

Dr. Harold A. Kime
Profesor, Departamento de Biblia y Teología
Lancaster Bible College
Lancaster, PA. USA

ISBN: 978-1-943840-14-4



P96 .K56 2018